## † Τῇ πέμπτῃ Κυριακῇ τῶν Νηστειῶν· ψάλλομεν τὴν Ἀκολουθίαν τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας.




Τῆς ὁσίας ταύτης ἡ μνήμη τελεῖται μὲν κατὰ τὴν πρώτην Ἀπριλίου, ἔνθα ἐγράφη καὶ ὁ βίος αὐτῆς, ἐτάχθη δὲ ἡ αὐτὴ καὶ σήμερον, ἐγγίζοντος ἤδη τοῦ τέλους τῆς ἁγίας Τεσσαρακοστῆς, πρὸς διέγερσιν τῶν ῥαθύμων καὶ ἁμαρτωλῶν εἰς μετάνοιαν, ἐχόντων ὑπόδειγμα τὴν ἑορταζομένην ἁγίαν.

### Ἀπολυτίκιον Ἀναστάσιμον τοῦ Ἤχου·

### Καὶ τῆς Ἁγίας, Ἦχος πλ. δ΄.

Ἐν σοὶ Μῆτερ, ἀκριβῶς διεσώθη τὸ κατ᾽ εἰκόνα· λαβοῦσα γὰρ τὸν Σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκός, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὁσία Μαρία, τὸ πνεῦμά σου.

### Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Φωτισθεῖσα ἐνθέως Σταυροῦ τῇ χάριτι, τῆς μετανοίας ἐδείχθης φωτοφανὴς λαμπηδών, τῶν παθῶν τὸν σκοτασμόν, λιποῦσα πάνσεμνε· ὅθεν ὡς ἄγγελος Θεοῦ, Ζωσιμᾶ, τῷ ἱερῷ, ὡράθης ἐν τῇ ἐρήμῳ, Μαρία ὁσία Μῆτερ· μεθ᾽ οὗ δυσώπει ὑπὲρ πάντων ἡμῶν.

### Κοντάκιον.

### Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἡ πορνείας πρότερον μεμεστωμένη παντοίαις, Χριστοῦ νύμφη σήμερον, τῇ μετανοίᾳ ἐδείχθης, Ἀγγέλων, τὴν πολιτείαν ἐπιποθοῦσα, δαίμονας, Σταυροῦ τῷ ὅπλῳ καταπατοῦσα· διὰ τοῦτο βασιλείας ἐφάνης νύμφη Μαρία ἔνδοξε.

### Ἕτερον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς ἁμαρτίας τὴν ἀχλὺν ἐκφυγοῦσα, τῆς μετανοίας τῷ φωτὶ αὐγασθεῖσα, τὴν σὴν καρδίαν ἔνδοξε προσῆξας τῷ Χριστῷ, τούτου τὴν πανάμωμον, καὶ ἁγίαν Μητέρα, πρέσβυν συμπαθέστατον, προσενέγκασα· ὅθεν καὶ τῶν πταισμάτων εὗρες ἀποχήν, καὶ σὺν ἀγγέλοις ἀεὶ ἐπαγάλλεσαι.